Καὶ τίς ἂν ἄλλος εἴη σαφέστερος λόγος, ἢ τῇ παῤῥησίᾳ
κρατῶν, ἵνα μήτις καὶ τῶν κακούργων σοφίαν πορισάμενος
ἀφορμὴν ἄλλην ἑαυτῷ διαπλαττόμενος εἰς ἐκείνην τῶν πε-
πραγμένων ἀνάπτῃ τὴν αἰτίαν; Ἀλλ᾽ ἅμα τε εἰργάζετο
ταῦτα, τὸ πατρικὸν ἱερὸν τῆς τῶν Ἰουδαίων ὀλιγωρίας
ἀποκαθαίρων καὶ ἀφαγνιζόμενος, καὶ χρησμὸν ἐπέφερε,
λαμπρῶς καὶ σὺν παῤῥησίᾳ διδάσκων, καὶ τῆς ἀπειλῆς καὶ
τῆς ὀργῆς καὶ τῆς καταστροφῆς τῶν τῆς ἐμπορίας
" τραπεζῶν καὶ καθεδρῶν, τὴν αἰτίαν. Ὁ οἶκός μου γάρ, φησὶν
" εἴρηται, οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ἐ-
" ποιήσατε σπήλαιον λῃστῶν. Οἶκον προσευχῆς καὶ θεοῦ ἡμῶν
τὸν νομικὸν καὶ εἰδὼς καὶ ὀνομάζων ναόν, καὶ ἐκδικῶν αὐτὸν
( τε βεβηλούμενον· διότι δὲ τοῦ ἀγαθοῦ πατρὸς ἦν, καὶ διότι καὶ αὐ-
τοῦ, εἴπερ ἅπαντα τὰ τοῦ πατρὸς ἐστί, καὶ αὐτοῦ. Καίτοι πό-
ση τις ἡ βεβήλωσις ἦν, ἀργυρίου ξύλον, καὶ κερμάτων
πίναξ, ἐν ᾧ τὸ τῶν ἀλόγων ζώων ἀντάλλαγμα κατεβάλ-
λετο; Ἀλλ᾽ οὕτως ἤδει τότε τοσαύτης ὄντα τιμῆς καὶ εὐλα-
βείας ἄξιον τὸν ναόν, ὡς μηδὲ τὸ βραχύτατον ἀνέχεσθαι
τῶν ἔξω πιπτόντων τῆς ὀφειλομένης αὐτῷ τιμῆς, παρα-
χωρεῖν τινα τολμᾶν εἰς αὐτόν. Τί λέγεις; τὸν οὕτω τιμη-
θέντα ναὸν ὑπὸ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοὺς ἐ-
πιχειρήσαντας τρόπον τινὰ βεβηλοῦν τηλικαύτης ἀποφή-
deest forte ἀξίους ναντα ὀργῆς; Ἆρα εἴη τοὺς οὐκ ἐπ᾽ ἐργασίᾳ μόνῃ κοινῇ βε-
βηλοῦν ἐπαρθέντας αὐτόν, ἀλλ᾽ ὅλον διόλου μύσους ἀρρήτου
καὶ βδελυρίας ἀνυπερβλήτου πληροῦντας αὐτόν, οὕτως ἀν-
θύνους ἀφήσειν αὐτούς; Καὶ ποῦ ἂν εἴη τοῦτο λογισμοῦ
νηφόντων λαβεῖν δυνατόν; Ἐντεῦθεν δ᾽ ἂν ἴδοις οὐκ ἔλατ-
τον

http://digital.slub-dresden.de/ppn345414306/323